# 0345-0407 - Iohannes Chrysostomus - In poenitentiam Ninivitarum

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2062 182 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In poenitentiam Ninivitarum

[00001] ΟΜΙΛΙΑ Β′.

[00002] Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου εἰς τὴν μετάνοιαν τῶν Νινευϊτῶν.

64.424

[00003] Εὐλόγησον, Πάτερ.

[00004] Καὶ τὰς προλαβούσας ἡμέρας διδασκαλίας ἀπαιτούσας ὁρῶν, καὶ ἐμαυτὸν διὰ τὴν ἀσθένειαν ἠναγκασμένον σιγᾶν, ἠνιώμην, καὶ ἐδυσχέραινον, καθάπερ τις πρόθυμος ἀθλητὴς κεκωλυμένος παρὰ τοὺς ἀγῶνας αὐτοῦ εἰσελθεῖν εἰς τὸ στάδιον.

[00005] Ἑώρων ὑμᾶς τῆς λογικῆς ἐφιεμένους τροφῆς, καὶ ἐμαυτὸν χορηγεῖν οὐκ ἰσχύοντα.

[00006] Ἑώρων τὸν χρόνον ἐμπορίας, καὶ ἐμαυτὸν οὐδὲν συμβόλαιον θέσθαι πρὸς ὑμᾶς δυνάμενον.

[00007] Ἔβλεπον τὴν θήραν πολλὴν, καὶ τὸν θηρευτὴν ἀτονοῦντα πρὸς τὴν ἄγραν.

[00008] Ἀλλὰ καὶ λίαν ὀδυνωμένῳ ἐπὶ τούτῳ κάλλιον ἡγούμην ἐμαυτῷ τοὺς πόνους ἐπιμετρεῖν, ὥστε καὶ εἰς ἐκκλησίαν ἔχειν καθ' ἡμέραν ἐπιφοιτᾷν, καὶ τῆς ἄλλης κοινωνεῖν ὑμῖν λειτουργίας, ἢ δύο καὶ τρεῖς ἡμέρας πλέον μόνον μοχθήσας προσηλῶσθαι πάλιν τῇ κλίνῃ, καὶ πάλιν ὑμῶν ἀπολελεῖφθαι.

[00009] Διὰ τοῦτο τὰς καθημερινὰς ἐκλείπων διαλέξεις ἥκω σήμερον διὰ τῆς Δεσποτικῆς χάριτος τὸ χρέως ὑμῖν καθήσων.

[00010] Δεῦρο δὴ οὖν τὸ σκάφος εἰς τὸ πέλαγος τῆς Νινευϊτῶν μετανοίας ἑλκύσωμεν.

[00011] Ἄλλοι μὲν γὰρ ἄλλοις εἰσὶ τῶν ἀνθρώπων χρήσιμοι λόγοι, τὰ δὲ τῆς μετανοίας φάρμακα πᾶσιν οἶμαι ὠφέλιμα·

[00012] ἐπειδὴ γὰρ οὐδεὶς ἁμαρτίας ἐλεύθερος, εὔδηλον ὡς οὔτε μετανοίας ἀνενδεής.

[00013] Τοῖς δὲ χρῄζουσι ταύτης ἀναγκαῖον τὸ παράδειγμα τῶν ἐκ μετανοίας σωθέντων τῷ ἴσῳ τρόπῳ κἀκείνους πρὸς τὴν ὑγιείαν εἰσάγον.

[00014] Ἴδομεν τοίνυν τοὺς ἐπὶ πονηρίᾳ βεβιωμένους ὀνομαστοὺς ἐπ' ἀρετῇ γινομένους.

[00015] Ἴδομεν τοὺς θηρίοις ἐοικότας ἀγγέλων τάξιν μεταλαμβάνοντας.

[00016] Ἴδομεν τοῖς ἔργοις τὴν πόλιν στρέφοντας τρόπῳ φιλοσοφίας τὴν πόλιν ἀνορθοῦντας.

[00017] Ἴδομεν τοὺς ἐχθροὺς τοῦ Θεοῦ, φίλους τοῦ Θεοῦ γεγονότας, καὶ τὸν πάλαι κατήγορον Δεσπότην, συνήγορον ὕστερον κτησαμένους.

[00018] Ἴδομεν κατακρίτους μετὰ τὴν ἀπόφασιν πρὸς τὸν δικαστὴν ἀγωνιζομένους, καὶ τὴν ἀπόφασιν ἀκυροῦντας.

[00019] Ἴδομεν τὸν Θεὸν διὰ φιλανθρωπίαν ψευδόμενον.

[00020] Ἠκούσαμεν πρώην, ὅπως ὁ μὲν προφήτης ἐκήρυσσεν, ἡ δὲ πόλις ἐθορυβεῖτο, καὶ ὅτι καθάπερ εἰς πέλαγος πνεῦμα χαλεπὸν ταράττει, οὕτως εἰς τὸν δῆμον τῶν Νινευϊτῶν ἡ φωνὴ πεσοῦσα τοῦ Ἰωνᾶ πάντα ζάλης καὶ χειμῶνος ἔπλησεν.

[00021] Ἠκούσαμεν, ὅπως πιστὸν ἡγουμένη ἡ πόλις τὸ κήρυγμα οὐκ εἰς [64.425] ἀπόγνωσιν ἔπεσεν, ἀλλ' εἰς μετάνοιαν ἔδρασεν·

[00022] καὶ ὅτι θαῤῥεῖν περὶ τῆς σωτηρίας οὐκ ἔχουσα, θεραπεύειν καὶ καταλλάττειν τὸν Θεὸν ἐπεχείρει.

[00023] Τίνα δὲ ὑπὲρ τῶν καταλλαγῶν τὰ πραττόμενα ἦν;

[00024] εἴρηται μὲν ἐν μέρει·

[00025] δεῖ δὲ τὸν πάντα λόγον ὑμῖν ἀποδοῦναι·

[00026] ἐκήρυξαν γὰρ νηστείαν, καὶ ἐνέδυσαν τὸν σάκκον ἀπὸ μικροῦ αὐτῶν καὶ ἕως μεγάλου αὐτῶν.

[00027] Ὢ ξένου θαύματος, φοβεροῦ μὲν ἀνθρώποις, ἀγγέλοις δὲ ποθεινοῦ! Ἐννόησόν μοι τὰς πολλὰς μυριάδας ἐκείνας ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν καὶ παίδων σακκοφορούσας, καὶ εἰς ταὐτὸ συνηθροισμένας·

[00028] ἐπιτηδεύματα πάντα καὶ πράξεις πάσας ἀνθρωπίνας ἀργούσας, καὶ ἔργον μὲν οὐδὲν παρ' οὐδενὸς οὐδαμοῦ τελούμενον, οἰμωγὴν δὲ ὁμοῦ πάντων καὶ θόρυβον, καὶ βοὴν εἰς οὐρανὸν πεμπομένην.

[00029] Ἐννόησον δεσποτῶν καὶ δούλων ἀνωμαλίαν ἐκβεβλημένην, ἀρχόντων καὶ ἀρχομένων, βασιλέα μετὰ τοῦ ἴσου σχήματος παρόντα τοῖς πλήθεσι, καὶ καθάπερ πολιτικήν τινα παράταξιν τὴν λειτουργίαν τάττοντα τοῦ Θεοῦ.

[00030] Ἤγγισε γὰρ, φησὶν, ὁ λόγος πρὸς τὸν βασιλέα, καὶ ἐξανέστη τοῦ θρόνου αὑτοῦ, καὶ ἐξεδύσατο τὴν στολὴν αὑτοῦ, καὶ περιεβάλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ.

[00031] Ὢ σοφοῦ βασιλέως.

[00032] Ἐξάρχει τῆς μετανοίας αὐτὸς, ὥστε τὴν πόλιν πᾶσαν σπουδαιοτέραν ποιῆσαι.

[00033] Τίς γὰρ ἤμελλεν ἔτι μαλακίζεσθαι, τὸν βασιλέα ὁρῶν αὐτὸν ὑπὲρ τῆς σωτηρίας ἀγωνιζόμενον;

[00034] Τὰ τραύματα τῆς ἁλουργίδος θεραπεύει διὰ τοῦ σάκκου·

[00035] τὰς ἁμαρτίας τοῦ θρόνου διὰ τῆς ἐπὶ σποδοῦ καθέδρας ἐκπλύνει·

[00036] τὴν νόσον τῆς ὑπερηφανείας τῷ ταπεινῷ τοῦ σχήματος ἐξιᾶται·

[00037] τῇ νηστείᾳ τὰ ἕλκη τῆς τρυφῆς φαρμακεύει·

[00038] καὶ δείξας ταῦτα διὰ τῶν ἔργων πρὸς τὴν ἴσην σπουδὴν πάντας διὰ κηρύγματος ἐγείρει.

[00039] Ἐκηρύχθη γὰρ, φησὶ, παρὰ τοῦ βασιλέως·

[00040] Οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ οἱ βόες, καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲν, μηδὲν νεμέσθωσαν, καὶ ὕδωρ μὴ πιέτωσαν.

[00041] Καινὴ βασιλέως νομοθεσία·

[00042] ἀσιτίαν τοῖς ἀῤῥώστοις ὡς ἰατρὸς ἐπιτάττει·

[00043] μᾶλλον δὲ τὰς ἀποστολικὰς μιμεῖται διδασκαλίας εὐσεβοῦς νηστείας ὁ τρυφητὴς νομοθέτης, καὶ τοῖς ἀνθρώποις κοινωνεῖν τὰ ἄλογα ταύτης κελεύει, διὰ τῆς ἀναμαρτήτου φύσεως εἰς οἶκτον μείζονα τὸν Θεὸν ἐπισπώμενος.

[00044] Καὶ περιεβάλοντο σάκκους, φησὶν, οἱ ἄνθρωποι καὶ τὰ κτήνη.

[00045] Ὢ παρατάξεως οὐρανίας! ὢ φάλαγγος τῷ διαβόλῳ φρικτῆς! Ἑστήκει θρηνῶν ὁ διάβολος ὁρῶν αὑτοῦ τὴν στρατείαν πανδημὶ πρὸς τὸν Θεὸν μεταστᾶσαν καὶ πολεμοῦσαν τοῖς δαίμοσιν·

[00046] εἶτα ταύτην τὴν μάχην καὶ παῖδες, καὶ γυναῖκες, νήπια μετὰ ἀνδρῶν ἠγωνίζοντο·

[00047] ἤδη δὲ ἡ τῶν κτηνῶν φύσις σύμμαχος εἰς τὴν παράταξιν παρελήφθη.

[00048] Καὶ ἴδε καινὸν ὁ διάβολος θέαμα·

[00049] βοσκήματα δικαιοσύνην συνεισφέροντα ἀνθρώποις, καὶ ὑπὲρ τῆς σωτηρίας τῶν κεκτημένων νηστεύοντα·

[00050] Οἱ ἄνθρωποι, καὶ οἱ βόες, καὶ τὰ κτήνη μὴ γευσάσθωσαν μηδὲν, μήτε νεμέσθωσαν.

[00051] Τὰ τῆς ἀρχῆς ὁ βασιλεὺς σύμβολα ῥίψας, τὴν τῶν ἱερέων μετέλαβε τάξιν.

[00052] Ἑστήκει δημηγορῶν, καὶ φιλοσοφεῖν τοὺς Νινευΐτας [64.428] παιδεύων.

[00053] Δεινὰ, φησὶν, ὦ φίλοι, τὰ περιεστῶτα κακά.

[00054] Τὴν οἰκουμένην χειρωσάμενοι πᾶσαν, ὡς πονηροὶ θείᾳ ψήφῳ φθειρόμεθα, καὶ βασιλεύοντες πάντων ἀνθρώπων, ὡς φαυλότεροι πάντων ξένῳ θανάτου κατεδικάσθημεν τρόπῳ, καὶ τῶν ἄλλων πάντων μακαρισθέντες, πάντων εἶναι δόξομεν ἀθλιώτεροι, καὶ μῦθος ἐσόμεθα τῷ βίῳ παντὶ καὶ διήγημα, τῆς προτέρας λαμπρότητος οὔτε λαθεῖν συγχωρούσης τὰ ἡμέτερα κακά.

[00055] Πολλοὺς, ὦ Νινευῖται, πολέμους νικήσαντες, γενναιότερον νῦν ὑπὲρ τῆς οἰκείας ἀγωνισώμεθα σωτηρίας·

[00056] πάλαι μὲν γὰρ ὅπως ἑτέρων γενώμεθα κύριοι, πάντα ἐπράττομεν·

[00057] νῦν δὲ ἆθλον ἡμῖν τὸ μὴ μετὰ γυναικῶν, καὶ παίδων ἄρδην ἀπολέσθαι.

[00058] Πρὸς ἐπανάστασιν ξένου πολέμου ξένως ἀγωνισώμεθα·

[00059] τοξεύσωμεν τὸν οὐρανὸν ὑμνῳδίαις·

[00060] ἀκοντίσωμεν ἀντὶ δοράτων ἐκεῖ ψαλμῳδίαις·

[00061] προσευχαῖς τὸν Θεὸν σφενδονήσωμεν·

[00062] δάκρυσιν ἀπαύστοις αὐτοῦ τὸν θυμὸν ἐκμειλίξωμεν·

[00063] τῶν πονηρῶν πράξεων τὴν φάλαγγα ῥήξωμεν·

[00064] τὰ τῆς κακίας ὀχυρώματα καταβάλωμεν·

[00065] μεθ' ὅπλων ἀρετῆς μαχησώμεθα·

[00066] θώρακα δικαιοσύνης βέλος οὐ τιτρώσκει·

[00067] ἀσπίδα πίστεως κεραυνὸς οὐ δύναται φλέξαι·

[00068] περικεφαλαίαν ἐλπίδος συντρίψαι ὁ Θεὸς οὐκ ἀνέχεται·

[00069] ἡ ἄνωθεν ὀργὴ χιτῶνα σωφροσύνης οὐ σχίζει·

[00070] ἀπειλὴ καταστροφῆς, ἐξομολογήσεως τεῖχος καθελεῖν οὐκ ἰσχύει·

[00071] ἀπόφασις ἀπωλείας μετάνοιαν σπουδαίαν ἰδοῦσα, ὡς καπνὸς εὐθὺς διαλύεται·

[00072] ἂν οὕτως, ὦ φίλοι, καὶ μετὰ τοιούτων πολεμήσωμεν ὅπλων, ὥσπερ τῆς γῆς οὕτω καὶ τοῦ οὐρανοῦ κρατήσομεν.

[00073] Θαῤῥεῖτε, Νινευῖται, θαῤῥεῖτε, φιλάνθρωπος βασιλεὺς ἡμῖν πολεμεῖ·

[00074] ἀνικέτας μόνον τοὺς αὐτοῦ πολεμίους ῥίψας εὖ θεὶς τὴν ὀργὴν εὐεργέτης γίνεται τῶν ἐχθρῶν.

[00075] Τοιούτοις μὲν παρακλητικοῖς λόγοις ὁ βασιλεὺς εἰς μετάνοιαν τὸν λαὸν ἠρέθιζε.

[00076] Νινευῖται δὲ προθύμως ἐξετέλουν τὰ κελευόμενα·

[00077] Περιέβαλον γὰρ, φησὶ, σάκκους οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ ἐβόησαν ἐκτενῶς πρὸς τὸν Θεόν.

[00078] Οὐχ ὁ μὲν λόγος ἦν πρόχειρος, ὁ λογισμὸς δὲ μετέωρος·

[00079] οὐχ ἡ μὲν γλῶσσα ἐφθέγγετο, ἡ δὲ διάνοια ἐρέμβετο·

[00080] οὐχ ἡ φωνὴ προεφέρετο, ἡ γνώμη δὲ παρεφέρετο·

[00081] ἀλλὰ συντεταμένως ἑκάτερα τὸν Θεὸν ἐλιτάνευε.

[00082] Νὺξ ἐπιοῦσα, καὶ τὸν φόβον αὔξουσα τὸν μὲν ὕπνον ἐδίωκε, σπουδαιότερον δὲ τὸν ὕμνον ἀνέπεμπεν.

[00083] Ἡμέρα πάλιν ζοφερὸν δεικνύουσα τὸν οὐρανὸν, καὶ ἀστραπαῖς ἀπαύστοις καὶ βρονταῖς κτυπουμένη εἰς τρόμον ἐξαίσιον καὶ βοὴν μεγίστην πάντας ἐκίνει.

[00084] Ἡ γῆ σειομένη κλόνον πολὺν εἰργάζετο ταῖς ψυχαῖς.

[00085] Τὰ νήπια πάντα τοῖς κόλποις ὑπὸ δέους προστρέχοντα τῶν μητέρων, καὶ ταῖς ἀγκάλαις κλαυθμυριζόμενα ἄφατον ἐποίει θρῆνον καὶ ὀδυρμὸν τοῖς ὁρῶσι.

[00086] Ἀγέλαι βοῶν καὶ προβάτων, καὶ θρέμματα πάντα νομῆς, καὶ ὑδάτων κεκωλυμένα, καὶ διάφορον φωνὴν ἀφιέντα, εἰς κλαυθμὸν καὶ ἀδαμαντίνους ἐκίνει ψυχάς.

[00087] Πανταχόθεν δὲ τῆς ἀπειλῆς καὶ τοῦ δέους ταράσσοντος, οὐκ ἠνέχοντο τὴν ἐλπίδα τὴν χρηστὴν ἀποῤῥίψαι.

[00088] Τίς οἶδε γὰρ, φησὶν, εἰ μετανοήσει ὁ Θεὸς, [64.429] καὶ ἀποστρέψει ἀπὸ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐκ ἀπολώμεθα;

[00089] Ἐκ βαθυτάτης τοίνυν καρδίας πρὸς τὸν Θεὸν ἀνεβόων·

[00090] Βασιλεῦ, ζωῆς Κύριος καὶ θανάτου, ἡμεῖς μὲν ἧς ἠπείλησας ἀποφάσεως ἄξιοι, καὶ δίκην τὴν ἑκάστην ὀφείλομεν, σὲ τὸν ἀληθινὸν Θεὸν ἀγνοήσαντες, καὶ διεφθαρμένον ζήσαντες βίον.

[00091] Αὐτὸς δὲ τῷ πελάγει τῶν σῶν οἰκτιρμῶν κεχρημένος παῦσον τὴν καθ' ἡμῶν τιμωρίαν·

[00092] νίκησον τὸ μέσον δίκαιον ἀγαθότητι, τὴν δὲ ἡμῶν ἀγνωμοσύνην φιλανθρωπίᾳ·

[00093] εἰ μὲν ἐξαίφνης ἐπήγαγες τὴν πληγὴν, λόγος τὰ τῆς κολάσεως εἶχε, καὶ ἀλλοτρίους ὄντας καὶ φαύλους ἀπέκτενες·

[00094] νῦν δὲ προθεσμίαν διὰ χρηστότητα δοὺς, ἂν μεταβληθέντας φονεύσῃς, οὐκ ἀλλοτρίους, ἀλλὰ σοὺς ἀπολλύεις.

[00095] Ἀσεβοῦντας ἐφύλαξας, καὶ νῦν φθείρεις πιστοὺς γινομένους;

[00096] πονηροὺς ὄντας διέσωσας, καὶ ἀγαθοεργοῦντας νῦν ἀναιρεῖς;

[00097] εἰδώλοις ἀνακειμένην τὴν πόλιν ηὔξησας, καὶ βασιλίδα πεποίηκας, καὶ καταστρέφεις σὴν γενομένην;

[00098] Οὐκ εἰδότες σε διὰ σοῦ τὴν οἰκουμένην ἐκρατήσαμεν, καὶ προσκυνοῦντές σε νῦν καὶ τῆς ζωῆς αὐτῆς ἐκβαλλόμεθα;

[00099] Τοῦ σοῦ, Βασιλεῦ, ὀνόματος φεῖσαι, μὴ Νινευΐταις ἀπαιτῶν δίκας, φευκτὴν ὡς ἀνόνητον τὴν εὐσέβειαν ποιήσῃς·

[00100] μὴ δικαίως ἡμᾶς κολάζων τῆς μετανοίας τοῖς ἀνθρώποις κλείσῃς τὴν θύραν.

[00101] Εἰ μὲν γὰρ νομοθέτου, καὶ διδασκάλων τυχόντες εἰς πολλὴν κακίαν προήλθαμεν, ἀπαραιτήτως διάφθειρον, ἱκετεύουσι συγγνώμης μὴ μετάδος, χαλεπωτέραν ἧς ἠπείλησας ἐπάγαγε δίκην·

[00102] εἰ δὲ οὐ μαθόντες, οὐδὲ παιδευθέντες ἐν φαυλότητι, καὶ ἀσεβείᾳ διετελοῦμεν, μὴ τοσοῦτον ὄλεθρον, Βασιλεῦ, τῆς ἀγνοίας ἡμῶν καταψηφίσῃ.

[00103] Κατακλυσμῷ τοὺς ἀνθρώπους διέφθειρας πάλαι δικαίως·

[00104] διδάσκοντι γὰρ οὐ προσεῖχον τῷ Νῶε·

[00105] προεῖπας τὴν ἀπώλειαν, καὶ τὴν ἁμαρτίαν οὐκ ἔφυγον.

[00106] Σοδομίτας εὐλόγως ἀνέπρησας, δέξασθαι γὰρ τοῦ Λὼτ τὰς συμβουλίας οὐκ ἠθέλησαν.

[00107] Αἰγύπτιοι κατεπόθησαν εἰκότως μετὰ τοῦ Φαραώ, Μωσέως γὰρ διδάσκοντος οὐκ ἐπείθοντο πληγέντες πολλάκις, καὶ τῆς σῆς δεξιᾶς πεῖραν λαβόντες.

[00108] Ἢ παρά τινος ἀντειπεῖν ἐτολμήσαμεν;

[00109] Ἕνα νῦν μόνον ἀπέστειλας πρὸς ἡμᾶς, οὐδὲ τοῦτον διδάσκαλον, ἀλλὰ καὶ κακῶν μηνυτήν, καὶ πιστεύσαντες πανδημὶ τὴν σὴν λατρείαν τιμῶμεν.

[00110] Προθεσμίαν ἡμῖν μικρὰν δέδωκας, καὶ μεταβολὴν ἐν αὐτῇ μεγίστην ἐδείξαμεν.

[00111] Ἀπωλείας ἡμῖν κηρυχθείσης τὸ σὸν φιλάνθρωπον οὐκ ἀπέγνωμεν.

[00112] Τοῦ προφήτου τὴν καταστροφὴν καταγγείλαντος, εἰς τὸ σὸν ἠλπίσαμεν ἔλεος.

[00113] Μὴ ψεύσῃς ἡμῶν, ἀγαθέ, τὰς ἐλπίδας! Μὴ παύσῃς γλώττας ἀνυμνεῖν σου τὴν χρηστότητα βουλομένας! Μὴ ἀποκτείνῃς ἄνδρας κηρύξαι σου τὴν ἀγαθότητα πάντα σπεύδοντας! Μὴ κωλύσῃς ἡμᾶς διδασκάλους τοῖς ἡμετέροις πᾶσιν εὐσεβείας γενέσθαι! Μὴ διαμείνῃς ὁριζόμενος ὁμοίως πρὸς τοὺς οὐκέτι τοῖς αὐτοῖς διαμείναντες! Ἠλλάγημεν ἡμεῖς, διαλλάγηθι σύ.

[00114] Στῆσον τὴν ὀργήν, ὥσπερ τὴν πλάνην ἡμεῖς.

[00115] Παῦσον τὴν τιμωρίαν αὐτός, ὥσπερ ἡμεῖς τὴν κακίαν.

[00116] Ἐξεπαίδευσας ἡμᾶς ἱκανῶς τῷ φόβῳ, δὸς καιρὸν λοιπὸν ἡμῖν τὸ περί σε φίλτρον ἐνδείξασθαι.

[00117] [64.432] Φεῖσαι θρεμμάτων διὰ λιμὸν μυκωμένων·

[00118] φεῖσαι παίδων ἀναμαρτήτων ὑπὸ κλαυθμοῦ πνιγομένων.

[00119] Φεῖσαι νηπίων ἀώρων ὑπὸ νηστείας ἐκλελυμένων.

[00120] Μὴ συνδιαφθείρῃς τοὺς ἀναιτίους τοῖς αἰτίοις.

[00121] Οἰκτείρησον μητέρας γάλα διὰ τὴν σὴν ὀργὴν τοῖς φιλτάτοις οὐ παρεχούσας·

[00122] ἠρνήσαντο γονεῖς ἐκείνους ἐλέων, ἵνα τὸ σὸν ἔλεος ἐπισπάσωνται.

[00123] Πάντες ἄνθρωποι τοῖς αὐτοῖς, οἷς καὶ ἡμεῖς, ἀνέχονται πονηρεύμασιν·

[00124] ἂν ἡμᾶς μετανοοῦντας μὴ δέξῃ, τοῦ κόσμου παντὸς τὰς ἐλπίδας ἐξέκοψας, Τοιούτοις παρὰ τὰς ἀρχάς, ὡς εἰκός, Νινευῖται λόγοις ἐχρῶντο·

[00125] ἦν δὲ καὶ τὰ ἔργα τοῖς λόγοις ἐφάμιλλα, νηστεία, σάκκος, ἐκτεινὴς προσευχή, δάκρυα, πονηρίας φυγή.

[00126] Ἀνεβόησαν γάρ, φησί, πρὸς τὸν Θεὸν ἐκτενῶς, καὶ ἀπέστρεψεν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὑτοῦ τῆς πονηρᾶς, καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν.

[00127] Ἅπτονται τῆς φιλοσοφίας ἀπὸ τῶν ἄκρων αὐτῶν τῆς φιλοσοφίας, καὶ τὴν κορωνίδα τῆς ἀρετῆς κρηπῖδα ποιοῦνται τῆς ἀρετῆς·

[00128] πᾶν γὰρ ὅ τι κάλλιστον ἔργον, καὶ Θεῷ προσφιλέστατον, τοῦτο ἕκαστος ἐπιτηδεύετο.

[00129] Ἶδον πόλεμον οὐράνιον κατ' αὐτῶν ἐγειρόμενον, καὶ ὠχύρωσαν ἔργοις ἀγαθοῖς ἑαυτούς, ὥσπερ τεῖχος [τείχει].

[00130] Ἐνεδύσαντο θαυμαστήν τινα πανοπλίαν τοὺς σάκκους.

[00131] Ἀντέταξαν κάτωθεν εὐχὰς, καὶ δεήσεις τοῖς ἄνωθεν κεραυνοῖς φερομένοις.

[00132] Τῷ πατάγῳ τῶν βροντῶν τὸν ἦχον τῆς ὑμνῳδίας ἀντέστησαν.

[00133] Νηστεία πύργος αὐτοῖς γέγονεν ἐναργής.

[00134] Κρουνοῖς δακρύων τὴν τῶν ἁμαρτημάτων ἔσβεσαν φάλαγγα.

[00135] Φίλους ἐποιήσαντο τοὺς ἐχθροὺς, ἵνα τὸν Θεὸν ἑαυτοῖς καταλλάξωσιν.

[00136] Ἀφῆκαν αὐτοὶ τὴν ὀργὴν τοῖς λελυπηκόσιν, ἵνα τὴν κατ' αὐτῶν ὀργὴν παύσωσι τοῦ Δεσπότου.

[00137] Ὀφλημάτων κάτω γραμματεῖον διέῤῥηξαν, ἵνα τῆς ἄνωθεν ἐπταισμένων ἀφέσεως τύχωσιν.

[00138] Ἔδωκαν δούλοις ἐλευθερίαν, ἵνα λάβωσιν αὐτοὶ τῆς τιμωρίας ἐλευθερίαν.

[00139] Προσέθηκαν τὰς κτήσεις τοῖς ἐνδεέσιν, ἵνα κτήσωνται βεβαίως τὰς ἰδίας οὐσίας.

[00140] Τρυφὴν ῥίψαντες, ἐγκράτειαν μετεδίωκον.

[00141] Ἀκολασίαν φυγόντες, σωφροσύνην ἠσπάζοντο.

[00142] Ἀξιωμάτων ὄγκον μισήσαντες, εἰς ταπεινὸν καὶ πενθηρὲς σχῆμα ἅπαντες μετεσκευάσθησαν.

[00143] Ὠνίων, καὶ συμβολαίων, καὶ πάντων ἔργων σχολάσαντες τὸν Θεὸν ἐθεράπευον.

[00144] Οἱ κακοῦργοι τὰς ληστείας οὐδενὸς ἀναγκάζοντος ὡμολόγουν.

[00145] Οἱ δικασταὶ τοὺς ὁμολογοῦντας οὐκ ἐπράττοντο δίκας.

[00146] Ὡς τεθνεῶτες τοῦ βίου πάντες ὡμολόγουν.

[00147] Ὁ πλοῦτος ἀφύλακτος ἔῤῥιπτο, καὶ ὁ κλέπτης οὐδαμόθεν ἐφαίνετο.

[00148] Χρυσὸς τοῖς ἐνδεέσιν ἐχορηγεῖτο, καὶ τὴν κτῆσιν ἕκαστος ὡς ζημίαν ἔφυγεν.

[00149] Ἓν μόνον ἐσπουδάζετο πᾶσιν, ἡ σωτηρία.

[00150] Εἷς δρόμος καὶ πλουσίοις, καὶ πένησιν, ὁ περὶ τῆς ζωῆς προύκειτο πόνος.

[00151] Πᾶν δὲ τὸ μὴ εἰς τοῦτο φέρον, ὡς ἀνόνητον καὶ φαῦλον ἐκβέβλητο.

[00152] Ἄδηλος ἦν ἡ σωτηρία, καὶ ὡς ὁμολογουμένη παρ' αὐτοῖς ἐσπουδάζετο.

[00153] Οὐκ εἶχον θαῤῥεῖν τῷ τέλει τῆς μετανοίας, καὶ ὡς ζησόμενοι πάντως ἀγαθῆς πάσης ἐπεμελοῦντο πράξεως.

[00154] Ὢ φιλοσόφων βαρβάρων! ὢ σοφῶν ἀπαιδεύτων! Ἔγνωσαν ἀδιδάκτως τὰ δέοντα, ἄνευ νομοθέτου μετεῤῥυθμίσθησαν, ἄνευ διδασκάλων ἐσωφρονίσθησαν, ἐκ τῆς ἐσχάτης κακίας εἰς τὴν οὐράνιον πολι [64.433] τείαν ἀνέδραμον.

[00155] Αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

[00156] Εἷς ὄμβρος ἀπειλῆς, καὶ μυρίων ἀγαθῶν φορὰν ἐβλάστησαν Νινευῖται·

[00157] ἀνεχωνεύθησαν ὡς παλαιοί τινες ἀνδριάντες.

[00158] Μετεσκευάσθησαν ἐκ τῆς μετανοίας·

[00159] ἐξ ἁμαρτωλῶν γεγόνασι δίκαιοι, ἀγγέλοις ἐράσμιοι, Θεῷ ποθεινοί.

[00160] Ἔστησαν σαλευομένην τὴν πόλιν, καταπίπτουσαν ὤρθωσαν, δονουμένην ἐστήριξαν.

[00161] Μετεστράφησαν, καὶ οὐκ ἀντεστράφησαν·

[00162] μετεβλήθησαν, καὶ οὐ διεφθάρησαν.

[00163] Ἴδε γὰρ, φησὶν, ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπεστράφησαν ἀπὸ τῶν ὁδῶν αὐτῶν πονηρῶν, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς.

[00164] Ὢ παραδόξων πραγμάτων! Ἀνεδίκασε τὴν δίκην ὁ δικαστὴς, τὴν φονεύουσαν ἔλυσε ψῆφον, καὶ τὴν σώζουσαν ἐψηφίσατο.

[00165] Μετενόησαν Νινευῖται, καὶ μετενόησεν ὁ Θεός.

[00166] Ἔσχισεν ἡ μετάνοια τῆς ἀπωλείας τὸ πρόσταγμα.

[00167] Διέῤῥηξαν ἐκεῖνοι τὴν πονηρίαν, διέῤῥηξεν ὁ Θεὸς τὴν ἀπόφασιν.

[00168] Ὢ πάντα δυναμένης μετανοίας!

[00169] Ἐπὶ γῆς τελεῖται, καὶ τὰ ἐν οὐρανοῖς ἀναστρέφει.

[00170] Οὕτω καὶ ἡμεῖς, ὦ φίλοι, μετανοήσωμεν·

[00171] οὕτω νηστεύσωμεν·

[00172] ἀγαθὰς πράξεις τῇ νηστείᾳ συνζεύξωμεν·

[00173] πονηρῶν πράξεων ἀπεχώμεθα·

[00174] τῆς γεέννης τὴν ἀπειλὴν φοβηθῶμεν·

[00175] διὰ μετανοίας τὴν παρὰ Θεοῦ σωτηρίαν κτησόμεθα.

[00176] Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00177] Ἀμήν.

[00178] ἀὰὰ

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In poenitentiam Ninivitarum**

**Litterarum Omnium Conspectus: 131 Litterae, quae repetitae sunt in 11,623 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 862 | Α | 0913 | 5 |
| β | 0946 | 76 | Β | 0914 | 4 |
| γ | 0947 | 178 | Γ | 0915 | 0 |
| δ | 0948 | 224 | Δ | 0916 | 0 |
| ε | 0949 | 645 | Ε | 0917 | 4 |
| ζ | 0950 | 26 | Ζ | 0918 | 0 |
| η | 0951 | 202 | Η | 0919 | 0 |
| θ | 0952 | 162 | Θ | 0920 | 24 |
| ι | 0953 | 450 | Ι | 0921 | 2 |
| κ | 0954 | 382 | Κ | 0922 | 8 |
| λ | 0955 | 306 | Λ | 0923 | 2 |
| μ | 0956 | 358 | Μ | 0924 | 11 |
| ν | 0957 | 1,099 | Ν | 0925 | 14 |
| ξ | 0958 | 55 | Ξ | 0926 | 0 |
| ο | 0959 | 756 | Ο | 0927 | 10 |
| π | 0960 | 354 | Π | 0928 | 11 |

| | | | | | |
|---|---|---|---|---|---|
| ρ | 0961 | 397 | Ρ | 0929 | 0 |
| ς | 0962 | 572 | • | 0930 | 0 |
| σ | 0963 | 437 | Σ | 0931 | 2 |
| τ | 0964 | 827 | Τ | 0932 | 15 |
| υ | 0965 | 188 | Υ | 0933 | 0 |
| φ | 0966 | 123 | Φ | 0934 | 4 |
| χ | 0967 | 75 | Χ | 0935 | 2 |
| ψ | 0968 | 18 | Ψ | 0936 | 0 |
| ω | 0969 | 199 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 11 | | | 0 |
| ῥ | 8165 | 15 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 165 | έ | 8051 | 155 | ή | 8053 | 60 | ί | 8055 | 200 | ό | 8057 | 113 | ύ | 8059 | 85 | ώ | 8061 | 31 |
| ὰ | 8048 | 89 | ὲ | 8050 | 49 | ὴ | 80852 | 110 | ὶ | 8054 | 145 | ὸ | 8056 | 119 | ὺ | 8058 | 29 | ὼ | 8060 | 2 |
| ᾶ | 8118 | 21 | | | 0 | ῆ | 8134 | 75 | ῖ | 8150 | 94 | | | 0 | ῦ | 8166 | 91 | ῶ | 8182 | 78 |
| ἀ | 7936 | 134 | ἐ | 7952 | 116 | ἠ | 7968 | 11 | ἰ | 7984 | 48 | ὀ | 8000 | 13 | ὐ | 8016 | 79 | ὠ | 8032 | 2 |
| ἁ | 7937 | 7 | ἑ | 7953 | 6 | ἡ | 7969 | 42 | ἱ | 7985 | 11 | ὁ | 8001 | 29 | ὑ | 8017 | 23 | ὡ | 8033 | 14 |
| ἂ | 7938 | 3 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 2 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 20 | ἔ | 7956 | 21 | ἤ | 7972 | 2 | ἴ | 7988 | 5 | ὄ | 8004 | 5 | ὔ | 8020 | 5 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 5 | ἥ | 7973 | 1 | ἵ | 7989 | 6 | ὅ | 8005 | 9 | ὕ | 8021 | 10 | ὥ | 8037 | 6 |
| ἆ | 7942 | 1 | | | 0 | ἦ | 7974 | 5 | ἶ | 7990 | 7 | | | 0 | ὖ | 8022 | 2 | ὦ | 8038 | 4 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 2 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 0 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 1 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 7 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 15 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 6 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 15 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0345-0407 - Iohannes Chrysostomus - In poenitentiam Ninivitarum**

**Verborum Omnium Conspectus: 1,137Verba, quae repetita sunt in 3,498,114 occasionibus**

---

**ὰὰὰ** [00178]
**ἀγαθὰς** [00172]
**ἀγαθὲ** [00113]
**ἀγαθῆς** [00153]
**ἀγαθοεργοῦντας** [00096]
**ἀγαθοῖς** [00129]
**ἀγαθότητα** [00113]
**ἀγαθότητι** [00092]
**ἀγαθῶν** [00156]
**ἀγγέλοις** [00027] [00159]
**ἀγγέλων** [00015]
**Ἀγέλαι** [00086]
**ἁγίοις** [00002]
**ἀγκάλαις** [00085]
**ἀγνοήσαντες** [00090]
**ἀγνοίας** [00102]
**ἀγνωμοσύνην** [00092]
**ἄγραν** [00007]
**ἀγῶνας** [00004]
**ἀγωνιζόμενον** [00033]
**ἀγωνιζομένους** [00018]
**ἀγωνισώμεθα** [00055] [00058]
**ἀδαμαντίνους** [00086]
**Ἄδηλος** [00152]
**ἀδιδάκτως** [00154]
**ἀδικίας** [00126]
**ἀθλητὴς** [00004]
**ἀθλιώτεροι** [00054]
**ἆθλον** [00057]
**Αἰγύπτιοι** [00107]
**αἰτίοις** [00120]
**αἰῶνας** [00176]
**αἰώνων** [00176]
**Ἀκολασίαν** [00141]
**ἀκοντίσωμεν** [00060]
**ἄκρων** [00127]
**ἀκυροῦντας** [00018]
**ἀληθινὸν** [00090]
**ἀλλ** [00021]
**ἀλλὰ** [00081] [00094] [00109]
**Ἀλλὰ** [00008]
**ἄλλης** [00008]
**Ἄλλοι** [00011]
**ἄλλοις** [00011]
**ἀλλοίωσις** [00155]
**ἀλλοτρίους** [00093] [00094]
**ἄλλων** [00054]
**ἄλογα** [00043]
**ἁλουργίδος** [00034]
**ἁμαρτημάτων** [00134]
**ἁμαρτίαν** [00105]
**ἁμαρτίας** [00012] [00035]
**ἁμαρτωλῶν** [00159]
**Ἀμήν** [00177]
**ἂν** [00072] [00094] [00124]
**ἀναγκάζοντος** [00144]
**ἀναγκαῖον** [00013]
**ἀναιρεῖς** [00096]
**ἀναιτίους** [00120]
**ἀνακειμένην** [00097]
**ἀναμαρτήτου** [00043]
**ἀναμαρτήτων** [00118]
**ἀναστρέφει** [00169]
**ἄνδρας** [00113]
**ἀνδριάντες** [00157]
**ἀνδρῶν** [00027] [00046]
**Ἀνεβόησαν** [00126]
**ἀνεβόων** [00089]
**Ἀνεδίκασε** [00164]
**ἀνέδραμον** [00154]
**ἀνενδεής** [00012]
**ἀνέπεμπεν** [00082]
**ἀνέπρησας** [00106]
**ἄνευ** [00154] [00154]
**ἀνέχεται** [00068]
**ἀνέχονται** [00123]
**ἀνεχωνεύθησαν** [00157]
**ἀνθρωπίνας** [00028]
**ἄνθρωποι** [00040] [00044] [00050] [00077] [00123]
**ἀνθρώποις** [00027] [00043] [00049] [00100]
**ἀνθρώπους** [00103]
**ἀνθρώπων** [00011] [00054]
**ἀνικέτας** [00074]
**ἀνόνητον** [00099] [00151]
**ἀνορθοῦντας** [00016]
**ἀντειπεῖν** [00108]
**ἀντέστησαν** [00132]
**ἀντεστράφησαν** [00161]

**Ἀντέταξαν** [00131]
**ἀντὶ** [00060]
**ἀνυμνεῖν** [00113]
**ἄνωθεν** [00069] [00131] [00137]
**ἀνωμαλίαν** [00029]
**ἄξιοι** [00090]
**Ἀξιωμάτων** [00142]
**ἀπαιδεύτων** [00154]
**ἀπαιτούσας** [00004]
**ἀπαιτῶν** [00099]
**ἅπαντες** [00142]
**ἀπαραιτήτως** [00101]
**ἀπαύστοις** [00062] [00083]
**ἀπέγνωμεν** [00111]
**ἀπειλὴ** [00070]
**ἀπειλὴν** [00174]
**ἀπειλῆς** [00087] [00156]
**ἀπέκτενες** [00093]
**ἀπέστειλας** [00109]
**ἀπεστράφησαν** [00163]
**ἀπέστρεψεν** [00126]
**ἀπεχώμεθα** [00173]
**ἀπόγνωσιν** [00021]
**ἀποδοῦναι** [00025]
**ἀποκτείνῃς** [00113]
**ἀπολελεῖφθαι** [00008]
**ἀπολέσθαι** [00057]
**ἀπολλύεις** [00094]
**ἀπολώμεθα** [00088]
**ἀποῤῥίψαι** [00087]
**ἀποστολικὰς** [00043]
**ἀποστρέψει** [00088]
**ἀποφάσεως** [00090]
**ἀπόφασιν** [00018] [00018] [00167]
**ἀπόφασις** [00071]
**Ἅπτονται** [00127]
**ἀπώλειαν** [00105]
**ἀπωλείας** [00071] [00166]
**Ἀπωλείας** [00111]
**ἀργούσας** [00028]
**ἄρδην** [00057]
**ἀρετῇ** [00014]
**ἀρετῆς** [00065] [00127] [00127]
**ἀῤῥώστοις** [00042]
**ἀρχὰς** [00124]
**ἀρχῆς** [00051]
**ἀρχιεπισκόπου** [00002]
**ἀρχομένων** [00029]
**ἀρχόντων** [00029]
**ἀσεβείᾳ** [00102]
**Ἀσεβοῦντας** [00095]
**ἀσθένειαν** [00004]
**ἀσιτίαν** [00042]
**ἀσπίδα** [00067]
**ἀστραπαῖς** [00083]
**ἀτονοῦντα** [00007]
**αὔξουσα** [00082]
**Αὕτη** [00155]
**αὐτῇ** [00110]
**αὐτῆς** [00098]
**αὐτοὶ** [00136] [00138]
**αὐτοῖς** [00113] [00123] [00133] [00152] [00163]
**αὐτὸν** [00033]
**Αὐτὸς** [00091]
**αὐτὸς** [00032] [00115]
**αὐτοῦ** [00062] [00074] [00088]
**αύτοῦ** [00004] [00030] [00030] [00045] [00126]
**Αὐτῷ** [00176]
**αὐτῶν** [00026] [00026] [00126] [00127] [00129] [00136] [00163] [00163]
**ἄφατον** [00085]
**ἀφέσεως** [00137]
**Ἀφῆκαν** [00136]
**ἀφιέντα** [00086]
**ἀφύλακτος** [00147]
**ἀώρων** [00119]

**Β** [00001]
**βαθυτάτης** [00089]
**βαρβάρων** [00154]
**βασιλέα** [00029] [00030] [00033]
**Βασιλεῦ** [00090] [00099] [00102]
**βασιλεύοντες** [00054]
**βασιλεὺς** [00051] [00073] [00075]
**βασιλέως** [00031] [00039] [00041]
**βασιλίδα** [00097]
**βεβαίως** [00139]
**βεβιωμένους** [00014]
**βέλος** [00066]
**βίον** [00090]
**βίου** [00146]
**βίῳ** [00054]
**βόες** [00040] [00050]
**βοὴν** [00028] [00083]
**βοσκήματα** [00049]
**βουλομένας** [00113]
**βοῶν** [00086]
**βρονταῖς** [00083]
**βροντῶν** [00132]

**γάλα** [00121]
**γὰρ** [00011] [00012] [00026] [00030] [00033] [00039] [00056] [00077] [00088] [00101] [00104] [00106] [00107] [00126] [00128] [00163]
**γεγόνασι** [00159]
**γέγονεν** [00133]
**γεγονότας** [00017]
**γεέννης** [00174]
**γενέσθαι** [00113]
**γενναιότερον** [00055]
**γενομένην** [00097]
**γενώμεθα** [00056]
**γευσάσθωσαν** [00040] [00050]
**γῆ** [00084]
**γῆς** [00072] [00169]

**γίνεται** [00074]
**γινομένους** [00014] [00095]
**γλῶσσα** [00079]
**γλώττας** [00113]
**γνώμη** [00080]
**γονεῖς** [00122]
**γραμματεῖον** [00137]
**γυναῖκες** [00046]
**γυναικῶν** [00027] [00057]

**δαίμοσιν** [00045]
**δάκρυα** [00125]
**δάκρυσιν** [00062]
**δακρύων** [00134]
**δὲ** [00011] [00013] [00020] [00023] [00025] [00027] [00028] [00043] [00047] [00057] [00076] [00078] [00079] [00080] [00082] [00087] [00091] [00092] [00094] [00102] [00125] [00151]
**δέδωκας** [00110]
**δεήσεις** [00131]
**δεῖ** [00025]
**δεικνύουσα** [00083]
**Δεινὰ** [00053]
**δείξας** [00038]
**δέξασθαι** [00106]
**δέξῃ** [00124]
**δεξιᾶς** [00107] [00155]
**δέοντα** [00154]
**δέους** [00085] [00087]
**Δεσπότην** [00017]
**Δεσποτικῆς** [00009]
**Δεσπότου** [00136]
**δεσποτῶν** [00029]
**Δεῦρο** [00010]
**δὴ** [00010]
**δημηγορῶν** [00052]
**δῆμον** [00020]
**Διὰ** [00009]
**διὰ** [00004] [00009] [00019] [00034] [00035] [00038] [00038] [00043] [00094] [00098] [00117] [00121] [00175]
**διάβολος** [00045] [00048]
**διαβόλῳ** [00045]
**διαλέξεις** [00009]
**διαλλάγηθι** [00113]
**διαλύεται** [00071]
**διαμείναντες** [00113]
**διαμείνῃς** [00113]
**διάνοια** [00079]
**διάφθειρον** [00101]
**διάφορον** [00086]
**διδασκαλίας** [00004] [00043]
**διδάσκαλον** [00109]
**διδασκάλους** [00113]
**διδασκάλων** [00101] [00154]
**διδάσκοντι** [00104]
**διδάσκοντος** [00107]
**Διέῤῥηξαν** [00167]
**διέῤῥηξαν** [00137]
**διέῤῥηξεν** [00167]
**διέσωσας** [00096]
**διετελοῦμεν** [00102]
**διεφθάρησαν** [00162]
**διεφθαρμένον** [00090]
**διέφθειρας** [00103]
**διήγημα** [00054]
**δίκαιοι** [00159]
**δίκαιον** [00092]
**δικαιοσύνην** [00049]
**δικαιοσύνης** [00066]
**δικαίως** [00100] [00103]
**δίκας** [00099] [00145]
**δικασταὶ** [00145]
**δικαστὴν** [00018]
**δικαστὴς** [00164]
**δίκην** [00090] [00101] [00164]
**δονουμένην** [00160]
**δόξα** [00176]
**δόξομεν** [00054]
**δοράτων** [00060]
**δὸς** [00116]
**δούλοις** [00138]
**δούλων** [00029]
**δοὺς** [00094]
**δρόμος** [00150]
**δυναμένης** [00168]
**δυνάμενον** [00006]
**δύναται** [00067]
**δύο** [00008]

**ἑαυτοῖς** [00135]
**ἑαυτοὺς** [00129]
**ἐβλάστησαν** [00156]
**Ἔβλεπον** [00007]
**ἐβόησαν** [00077]
**ἐγείρει** [00038]
**ἐγειρόμενον** [00129]
**ἐγκράτειαν** [00140]
**Ἔγνωσαν** [00154]
**ἐδείξαμεν** [00110]
**ἐδίωκε** [00082]
**ἔδρασεν** [00021]
**ἐδυσχέραινον** [00004]
**Ἔδωκαν** [00138]
**ἐθεράπευον** [00143]
**ἐθορυβεῖτο** [00020]
**Εἰ** [00101]
**εἰ** [00088] [00093] [00102]
**εἰδότες** [00098]
**εἰδώλοις** [00097]
**εἰκὸς** [00124]
**εἰκότως** [00107]
**εἶναι** [00054]
**εἰργάζετο** [00084]
**εἴρηται** [00024]
**Εἷς** [00150] [00156]
**εἰς** [00002] [00004] [00008] [00010] [00020] [00020] [00021] [00021] [00027] [00028] [00043] [00047] [00075] [00083] [00086] [00101] [00112] [00142] [00151] [00154] [00176]

**εἰσάγον** [00013]
**εἰσελθεῖν** [00004]
**εἰσὶ** [00011]
**εἶτα** [00046]
**εἶχε** [00093]
**εἶχον** [00153]
**ἐκ** [00013] [00154] [00158]
**Ἐκ** [00089]
**ἐκάθισεν** [00030]
**ἑκάστην** [00090]
**ἕκαστος** [00126] [00128] [00148]
**ἑκάτερα** [00081]
**ἐκβαλλόμεθα** [00098]
**ἐκβεβλημένην** [00029]
**ἐκβέβλητο** [00151]
**ἐκεῖ** [00060]
**ἐκείνας** [00027]
**ἐκεῖνοι** [00167]
**ἐκείνους** [00122]
**ἐκήρυξαν** [00026]
**ἐκήρυσσεν** [00020]
**Ἐκηρύχθη** [00039]
**ἐκίνει** [00083] [00086]
**ἐκκλησίαν** [00008]
**ἐκλείπων** [00009]
**ἐκλελυμένων** [00119]
**ἐκμειλίξωμεν** [00062]
**ἐκπλύνει** [00035]
**ἐκρατήσαμεν** [00098]
**ἐκτεινὴς** [00125]
**ἐκτενῶς** [00077] [00126]
**ἐλάλησε** [00163]
**ἔλεος** [00112] [00122]
**ἐλευθερίαν** [00138] [00138]
**ἐλεύθερος** [00012]
**ἐλέων** [00122]
**ἐλιτάνευε** [00081]
**ἕλκη** [00037]
**ἑλκύσωμεν** [00010]
**ἐλπίδα** [00087]
**ἐλπίδας** [00113] [00124]
**ἐλπίδος** [00068]
**ἔλυσε** [00164]
**ἐμαυτὸν** [00004] [00005] [00006]
**ἐμαυτῷ** [00008]
**ἐμπορίας** [00006]
**ἐν** [00002] [00024] [00102] [00110] [00126] [00169]
**Ἓν** [00149]
**Ἕνα** [00109]
**ἐναργής** [00133]
**ἐνδεέσιν** [00139] [00148]
**ἐνδείξασθαι** [00116]
**ἐνέδυσαν** [00026]
**Ἐνεδύσαντο** [00130]
**Ἐννόησόν** [00027]
**Ἐννόησον** [00029]
**ἐξ** [00159]
**ἐξαίσιον** [00083]
**ἐξαίφνης** [00093]
**ἐξανέστη** [00030]
**Ἐξάρχει** [00032]
**ἐξεδύσατο** [00030]
**ἐξέκοψας** [00124]
**Ἐξεπαίδευσας** [00116]
**ἐξετέλουν** [00076]
**ἐξιᾶται** [00036]
**ἐξομολογήσεως** [00070]
**ἐοικότας** [00015]
**ἐπ** [00014]
**ἐπάγαγε** [00101]
**ἐπανάστασιν** [00058]
**ἐπειδὴ** [00012]
**ἐπείθοντο** [00107]
**ἐπεμελοῦντο** [00153]
**ἔπεσεν** [00021]
**ἐπεχείρει** [00022]
**ἐπήγαγες** [00093]
**ἐπὶ** [00008] [00014] [00030] [00035] [00163]
**Ἐπὶ** [00169]
**ἐπιμετρεῖν** [00008]
**ἐπιοῦσα** [00082]
**ἐπισπάσωνται** [00122]
**ἐπισπώμενος** [00043]
**ἐπιτάττει** [00042]
**ἐπιτηδεύετο** [00128]
**ἐπιτηδεύματα** [00028]
**ἐπιφοιτᾷν** [00008]
**ἔπλησεν** [00020]
**ἐποίει** [00085]
**ἐποιήσαντο** [00135]
**ἐπράττομεν** [00056]
**ἐπράττοντο** [00145]
**ἐπταισμένων** [00137]
**ἐράσμιοι** [00159]
**ἔργα** [00125] [00163]
**ἔργοις** [00016] [00129]
**ἔργον** [00028] [00128]
**ἔργων** [00038] [00143]
**ἐρέμβετο** [00079]
**ἔῤῥιπτο** [00147]
**ἔσβεσαν** [00134]
**ἐσόμεθα** [00054]
**ἐσπουδάζετο** [00149] [00152]
**Ἑστήκει** [00045] [00052]
**ἐστήριξαν** [00160]
**Ἔστησαν** [00160]
**ἐσχάτης** [00154]
**Ἔσχισεν** [00166]
**ἐσωφρονίσθησαν** [00154]
**ἑτέρων** [00056]
**ἔτι** [00033]
**ἐτολμήσαμεν** [00108]
**εὖ** [00074]
**εὔδηλον** [00012]
**εὐεργέτης** [00074]
**εὐθὺς** [00071]

**Εὐλόγησον** [00003]
**εὐλόγως** [00106]
**εὐσέβειαν** [00099]
**εὐσεβείας** [00113]
**εὐσεβοῦς** [00043]
**εὐχὰς** [00131]
**ἐφαίνετο** [00147]
**ἐφάμιλλα** [00125]
**ἐφθέγγετο** [00079]
**ἐφιεμένους** [00005]
**ἔφυγεν** [00148]
**ἔφυγον** [00105]
**ἐφύλαξας** [00095]
**ἔχειν** [00008]
**ἐχθροὺς** [00017] [00135]
**ἐχθρῶν** [00074]
**ἐχορηγεῖτο** [00148]
**ἔχουσα** [00022]
**ἐχρῶντο** [00124]
**ἐψηφίσατο** [00164]
**Ἑώρων** [00005] [00006]
**ἕως** [00026]

**ζάλης** [00020]
**ζημίαν** [00148]
**ζήσαντες** [00090]
**ζησόμενοι** [00153]
**ζοφερὸν** [00083]
**ζωῆς** [00090] [00098] [00150]

**ἡ** [00020] [00020] [00021] [00047] [00069] [00079] [00079] [00080] [00080] [00149] [00152] [00155] [00166] [00176]
**ἣ** [00008]
**Ἡ** [00084]
**Ἢ** [00108]
**ᾗ** [00163]
**Ἤγγισε** [00030]
**ἡγουμένη** [00021]
**ἡγούμην** [00008]
**ἠγωνίζοντο** [00046]
**ἤδη** [00047]
**ἠθέλησαν** [00106]
**Ἠκούσαμεν** [00020] [00021]
**ἥκω** [00009]
**Ἠλλάγημεν** [00113]
**ἠλπίσαμεν** [00112]
**ἡμᾶς** [00100] [00109] [00113] [00116] [00124]
**ἡμεῖς** [00090] [00113] [00114] [00115] [00123] [00170]
**ἤμελλεν** [00033]
**Ἡμέρα** [00083]
**ἡμέραν** [00008]
**ἡμέρας** [00004] [00008]
**ἡμέτερα** [00054]
**ἡμετέροις** [00113]
**ἡμῖν** [00057] [00073] [00110] [00111] [00116]
**ἡμῶν** [00002] [00091] [00092] [00102] [00113]
**ἦν** [00023] [00078] [00125] [00152]
**ἠναγκασμένον** [00004]
**ἠνέχοντο** [00087]
**ἠνιώμην** [00004]
**ἠπείλησας** [00090] [00101]
**ἠρέθιζε** [00075]
**ἠρνήσαντο** [00122]
**ἧς** [00090] [00101]
**ἠσπάζοντο** [00141]
**ηὔξησας** [00097]
**ἦχον** [00132]

**θανάτου** [00054] [00090]
**θαῤῥεῖν** [00022] [00153]
**Θαῤῥεῖτε** [00073]
**θαῤῥεῖτε** [00073]
**θαυμαστήν** [00130]
**θαύματος** [00027]
**θέαμα** [00048]
**θείᾳ** [00054]
**θεὶς** [00074]
**Θεὸν** [00019] [00022] [00043] [00045] [00061] [00081] [00089] [00090] [00126] [00135] [00143]
**Θεόν** [00077]
**Θεὸς** [00068] [00088] [00163] [00167]
**Θεός** [00165]
**Θεοῦ** [00017] [00017] [00029] [00175]
**θεραπεύει** [00034]
**θεραπεύειν** [00022]
**θέσθαι** [00006]
**Θεῷ** [00128] [00159]
**θήραν** [00007]
**θηρευτὴν** [00007]
**θηρίοις** [00015]
**θόρυβον** [00028]
**θρέμματα** [00086]
**θρεμμάτων** [00117]
**θρῆνον** [00085]
**θρηνῶν** [00045]
**θρόνου** [00030] [00035]
**θυμὸν** [00062]
**θυμοῦ** [00088]
**θύραν** [00100]
**θώρακα** [00066]

**ἰατρὸς** [00042]
**ἴδε** [00048]
**Ἴδε** [00163]
**ἰδίας** [00139]
**Ἴδομεν** [00014] [00015] [00016] [00017] [00018] [00019]
**Ἴδον** [00129]
**ἰδοῦσα** [00071]
**ἱερέων** [00051]
**ἱκανῶς** [00116]

ἱκετεύουσι [00101]
ἵνα [00122] [00135] [00136] [00137] [00138] [00139]
ἴσην [00038]
ἴσου [00029]
ἰσχύει [00070]
ἰσχύοντα [00005]
ἴσῳ [00013]
Ἰωάννου [00002]
Ἰωνᾶ [00020]

καθ [00008] [00091]
καθάπερ [00004] [00020] [00029]
καθέδρας [00035]
καθελεῖν [00070]
καθημερινὰς [00009]
καθήσων [00009]
Καινὴ [00041]
καινὸν [00048]
καιρὸν [00116]
κακά [00053] [00054]
κἀκείνους [00013]
κακίᾳ [00163]
κακίαν [00101] [00115]
κακίας [00064] [00154]
κακοῦργοι [00144]
κακῶν [00109]
κάλλιον [00008]
κάλλιστον [00128]
καπνὸς [00071]
καρδίας [00089]
κατ [00129] [00136]
καταβάλωμεν [00064]
καταγγείλαντος [00112]
Κατακλυσμῷ [00103]
κατακρίτους [00018]
καταλλαγῶν [00023]
καταλλάξωσιν [00135]
καταλλάττειν [00022]
καταπίπτουσαν [00160]
καταστρέφεις [00097]
καταστροφὴν [00112]
καταστροφῆς [00070]
καταψηφίσῃ [00102]
κατεδικάσθημεν [00054]
κατεπόθησαν [00107]
κατήγορον [00017]
κάτω [00137]
κάτωθεν [00131]
κεκτημένων [00049]
κεκωλυμένα [00086]
κεκωλυμένος [00004]
κελεύει [00043]
κελευόμενα [00076]
κεραυνοῖς [00131]
κεραυνὸς [00067]
κεχρημένος [00091]
κήρυγμα [00021]
κηρύγματος [00038]
κηρύξαι [00113]
κηρυχθείσης [00111]
κλαυθμὸν [00086]
κλαυθμοῦ [00118]
κλαυθμυριζόμενα [00085]
κλείσῃς [00100]
κλέπτης [00147]
κλίνῃ [00008]
κλόνον [00084]
κοινωνεῖν [00008] [00043]
κολάζων [00100]
κολάσεως [00093]
κόλποις [00085]
κορωνίδα [00127]
κόσμου [00124]
κρατήσομεν [00072]
κράτος [00176]
κρηπῖδα [00127]
Κρουνοῖς [00134]
κτήνη [00040] [00044] [00050] [00077]
κτηνῶν [00047]
κτησαμένους [00017]
κτήσεις [00139]
κτῆσιν [00148]
κτησόμεθα [00175]
κτήσωνται [00139]
κτυπουμένη [00083]
κύριοι [00056]
Κύριος [00090]
κωλύσῃς [00113]
Κωνσταντινουπόλεως [00002]

λαβόντες [00107]
λάβωσιν [00138]
λαθεῖν [00054]
λαμπρότητος [00054]
λαὸν [00075]
λατρείαν [00109]
λειτουργίαν [00029]
λειτουργίας [00008]
λελυπηκόσιν [00136]
λῃστείας [00144]
λίαν [00008]
λιμὸν [00117]
λογικῆς [00005]
λογισμὸς [00078]
λόγοι [00011]
λόγοις [00075] [00124] [00125]
λόγον [00025]
λόγος [00030] [00078] [00093]
λοιπὸν [00116]
Λὼτ [00106]

**μαθόντες** [00102]
**μακαρισθέντες** [00054]
**μαλακίζεσθαι** [00033]
**μᾶλλον** [00043]
**μάχην** [00046]
**μαχησώμεθα** [00065]
**μεγάλου** [00026]
**μεγίστην** [00083] [00110]
**μεθ** [00065]
**μείζονα** [00043]
**μὲν** [00011] [00020] [00024] [00027] [00028] [00056] [00075] [00078] [00079] [00082] [00090] [00093] [00101]
**μέρει** [00024]
**μέσον** [00092]
**μεταβληθέντας** [00094]
**μεταβολὴν** [00110]
**μετάδος** [00101]
**μεταλαμβάνοντας** [00015]
**μετανοήσει** [00088]
**μετανοήσωμεν** [00170]
**μετάνοια** [00166]
**μετάνοιαν** [00002] [00021] [00071] [00075]
**μετανοίας** [00010] [00011] [00012] [00013] [00032] [00100] [00153] [00158] [00168] [00175]
**μετανοοῦντας** [00124]
**μεταστᾶσαν** [00045]
**μετεβλήθησαν** [00162]
**μετεδίωκον** [00140]
**μετέλαβε** [00051]
**Μετενόησαν** [00165]
**μετενόησεν** [00163] [00165]
**μετεῤῥυθμίσθησαν** [00154]
**Μετεσκευάσθησαν** [00158]
**μετεσκευάσθησαν** [00142]
**Μετεστράφησαν** [00161]
**μετέωρος** [00078]
**μηδὲν** [00040] [00040] [00050]
**μηνυτὴν** [00109]
**μήτε** [00050]
**μητέρας** [00121]
**μητέρων** [00085]
**μικρὰν** [00110]
**μικροῦ** [00026]
**μιμεῖται** [00043]
**μισήσαντες** [00142]
**μοι** [00027]
**μόνον** [00008] [00074] [00109] [00149]
**μοχθήσας** [00008]
**μῦθος** [00054]
**μυκωμένων** [00117]
**μυριάδας** [00027]
**μυρίων** [00156]
**Μωσέως** [00107]

**νεμέσθωσαν** [00040] [00050]
**νήπια** [00046] [00085]
**νηπίων** [00119]
**Νηστεία** [00133]
**νηστείᾳ** [00037] [00172]
**νηστεία** [00125]
**νηστείαν** [00026]
**νηστείας** [00043] [00119]
**νηστεύοντα** [00049]
**νηστεύσωμεν** [00171]
**νικήσαντες** [00055]
**νίκησον** [00092]
**Νινευΐταις** [00099]
**Νινευΐτας** [00052]
**Νινευῗται** [00073] [00076]
**Νινευῖται** [00055] [00124] [00156] [00165]
**Νινευϊτῶν** [00002] [00010] [00020]
**νομῆς** [00086]
**νομοθεσία** [00041]
**νομοθέτης** [00043]
**νομοθέτου** [00101] [00154]
**νόσον** [00036]
**νῦν** [00055] [00057] [00094] [00095] [00096] [00098] [00109]
**Νὺξ** [00082]
**Νῶε** [00104]

**ξένου** [00027] [00058]
**ξένῳ** [00054]
**ξένως** [00058]

**ὁ** [00020] [00030] [00043] [00045] [00048] [00051] [00068] [00075] [00078] [00078] [00088] [00147] [00150] [00163] [00164] [00165] [00167]
**ὅ** [00128]
**Ὁ** [00147]
**ὄγκον** [00142]
**ὁδοῦ** [00126]
**ὀδυνωμένῳ** [00008]
**ὀδυρμὸν** [00085]
**ὁδῶν** [00163]
**Οἱ** [00040] [00050] [00144] [00145]
**οἱ** [00040] [00044] [00050] [00077]
**οἶδε** [00088]
**οἰκείας** [00055]
**οἰκουμένην** [00054] [00098]
**Οἰκτείρησον** [00121]
**οἰκτιρμῶν** [00091]
**οἶκτον** [00043]
**οἶμαι** [00011]
**οἰμωγὴν** [00028]
**οἷς** [00123]
**ὄλεθρον** [00102]
**ὄμβρος** [00156]
**ΟΜΙΛΙΑ** [00001]
**ὁμοίως** [00113]
**ὁμολογουμένη** [00152]
**ὁμολογοῦντας** [00145]
**ὁμοῦ** [00027] [00028]
**ὀνομαστοὺς** [00014]

**ὀνόματος** [00099]
**ὄντας** [00093] [00096]
**ὅπλων** [00065] [00072]
**ὅπως** [00020] [00021] [00056]
**ὀργὴ** [00069]
**ὀργὴν** [00074] [00114] [00121] [00136] [00136]
**ὀργῆς** [00088]
**ὁριζόμενος** [00113]
**ὁρῶν** [00004] [00033] [00045]
**ὁρῶσι** [00085]
**ὅτι** [00020] [00022] [00163]
**οὐ** [00066] [00067] [00069] [00102] [00104] [00121] [00162]
**οὐδαμόθεν** [00147]
**οὐδαμοῦ** [00028]
**οὐδὲ** [00102] [00109]
**οὐδεὶς** [00012]
**οὐδὲν** [00006] [00028]
**οὐδενὸς** [00028] [00144]
**Οὐκ** [00098] [00153]
**οὐκ** [00005] [00021] [00022] [00068] [00070] [00087] [00088] [00094] [00105] [00106] [00107] [00111] [00145] [00161]
**οὐκέτι** [00113]
**οὖν** [00010]
**οὐρανίας** [00045]
**οὐράνιον** [00129] [00154]
**οὐρανοῖς** [00169]
**οὐρανὸν** [00028] [00059] [00083]
**οὐρανοῦ** [00072]
**οὐσίας** [00139]
**οὔτε** [00012] [00054]
**Οὕτω** [00170]
**οὕτω** [00072] [00171]
**οὕτως** [00020] [00072]
**Οὐχ** [00078]
**οὐχ** [00079] [00080]
**ὀφείλομεν** [00090]
**Ὀφλημάτων** [00137]
**ὀχυρώματα** [00064]

**παῖδες** [00046]
**παιδευθέντες** [00102]
**παιδεύων** [00052]
**παίδων** [00027] [00057] [00118]
**πάλαι** [00017] [00056] [00103]
**παλαιοί** [00157]
**πάλιν** [00008] [00008] [00083]
**Πᾶν** [00151]
**πᾶν** [00128]
**πανδημὶ** [00045] [00109]
**πανοπλίαν** [00130]
**πάντα** [00020] [00025] [00028] [00056] [00085] [00086] [00113] [00168]
**πάντας** [00038] [00083]
**Πανταχόθεν** [00087]
**Πάντες** [00123]
**πάντες** [00146]
**παντὶ** [00054]
**παντὸς** [00124]
**πάντων** [00028] [00054] [00054] [00054] [00054] [00143]
**πάντως** [00153]
**παρ** [00028] [00152]
**παρὰ** [00004] [00039] [00124] [00175]
**παρά** [00108]
**παράδειγμα** [00013]
**παραδόξων** [00164]
**παρακλητικοῖς** [00075]
**παρατάξεως** [00045]
**παράταξιν** [00029] [00047]
**παρελήφθη** [00047]
**παρεφέρετο** [00080]
**παρεχούσας** [00121]
**παρόντα** [00029]
**πᾶσαν** [00032] [00054]
**πάσας** [00028]
**πάσης** [00153]
**πᾶσιν** [00011] [00113] [00149]
**πατάγῳ** [00132]
**Πάτερ** [00003]
**Πατρὸς** [00002]
**παύσῃς** [00113]
**Παῦσον** [00115]
**παῦσον** [00091]
**παύσωσι** [00136]
**πεῖραν** [00107]
**πελάγει** [00091]
**πέλαγος** [00010] [00020]
**πεμπομένην** [00028]
**πένησιν** [00150]
**πενθηρὲς** [00142]
**πεποίηκας** [00097]
**περὶ** [00022] [00150]
**περί** [00116]
**περιεβάλετο** [00030]
**Περιέβαλον** [00077]
**περιεβάλοντο** [00044]
**περιεστῶτα** [00053]
**περικεφαλαίαν** [00068]
**πεσοῦσα** [00020]
**πιέτωσαν** [00040]
**πιστεύσαντες** [00109]
**πίστεως** [00067]
**πιστὸν** [00021]
**πιστοὺς** [00095]
**πλάνην** [00114]
**πλέον** [00008]
**πληγέντες** [00107]
**πληγὴν** [00093]
**πλήθεσι** [00029]
**πλουσίοις** [00150]
**πλοῦτος** [00147]
**πνεῦμα** [00020]
**πνιγομένων** [00118]
**ποθεινοί** [00159]
**ποθεινοῦ** [00027]
**ποιῆσαι** [00032] [00163]
**ποιήσῃς** [00099]

**ποιοῦνται** [00127]
**πολεμεῖ** [00073]
**πολεμήσωμεν** [00072]
**πολεμίους** [00074]
**πόλεμον** [00129]
**πολέμου** [00058]
**πολέμους** [00055]
**πολεμοῦσαν** [00045]
**πολι** [00154]
**πόλιν** [00016] [00016] [00032] [00097] [00160]
**πόλις** [00020] [00021]
**πολιτικήν** [00029]
**πολλάκις** [00107]
**πολλὰς** [00027]
**πολλὴν** [00007] [00101]
**Πολλοὺς** [00055]
**πολὺν** [00084]
**πονηρᾶς** [00126]
**πονηρεύμασιν** [00123]
**πονηρίᾳ** [00014]
**πονηρίαν** [00167]
**πονηρίας** [00125]
**πονηροὶ** [00054]
**πονηροὺς** [00096]
**πονηρῶν** [00063] [00163] [00173]
**πόνος** [00150]
**πόνους** [00008]
**πραγμάτων** [00164]
**πράξεις** [00028] [00172]
**πράξεων** [00063] [00173]
**πράξεως** [00153]
**πραττόμενα** [00023]
**πρόβατα** [00040]
**προβάτων** [00086]
**προεῖπας** [00105]
**προεφέρετο** [00080]
**προήλθαμεν** [00101]
**Προθεσμίαν** [00110]
**προθεσμίαν** [00094]
**πρόθυμος** [00004]
**προθύμως** [00076]
**προλαβούσας** [00004]
**Πρὸς** [00058]
**πρὸς** [00006] [00007] [00013] [00018] [00030] [00038] [00045] [00077] [00089] [00109] [00113] [00126]
**Προσέθηκαν** [00139]
**προσεῖχον** [00104]
**προσευχαῖς** [00061]
**προσευχὴ** [00125]
**προσηλῶσθαι** [00008]
**προσκυνοῦντές** [00098]
**πρόσταγμα** [00166]
**προστρέχοντα** [00085]
**προσφιλέστατον** [00128]
**προτέρας** [00054]
**προύκειτο** [00150]
**προφήτης** [00020]
**προφήτου** [00112]
**πρόχειρος** [00078]
**πρώην** [00020]
**πύργος** [00133]

**ῥήξωμεν** [00063]
**ῥίψαντες** [00140]
**ῥίψας** [00051] [00074]

**σάκκον** [00026] [00030]
**σάκκος** [00125]
**σάκκου** [00034]
**σάκκους** [00044] [00077] [00130]
**σακκοφορούσας** [00027]
**σαλευομένην** [00160]
**σὲ** [00090]
**σε** [00098] [00098] [00116]
**σειομένη** [00084]
**σήμερον** [00009]
**σὴν** [00097] [00109] [00121]
**σῆς** [00107]
**σιγᾶν** [00004]
**σκάφος** [00010]
**Σοδομίτας** [00106]
**σὸν** [00111] [00112] [00122]
**σοῦ** [00098] [00099]
**σου** [00113] [00113]
**σοὺς** [00094]
**σοφοῦ** [00031]
**σοφῶν** [00154]
**σπεύδοντας** [00113]
**σποδοῦ** [00030] [00035]
**σπουδαίαν** [00071]
**σπουδαιοτέραν** [00032]
**σπουδαιότερον** [00082]
**σπουδὴν** [00038]
**στάδιον** [00004]
**Στῆσον** [00114]
**στολὴν** [00030]
**στρατείαν** [00045]
**στρέφοντας** [00016]
**σύ** [00113]
**συγγνώμης** [00101]
**συγχωρούσης** [00054]
**σύμβολα** [00051]
**συμβόλαιον** [00006]
**συμβολαίων** [00143]
**συμβουλίας** [00106]
**σύμμαχος** [00047]
**συνδιαφθείρῃς** [00120]
**συνεισφέροντα** [00049]
**συνζεύξωμεν** [00172]
**συνήγορον** [00017]
**συνηθροισμένας** [00027]
**συντεταμένως** [00081]
**συντρίψαι** [00068]

**σφενδονήσωμεν** [00061]
**σχῆμα** [00142]
**σχήματος** [00029] [00036]
**σχίζει** [00069]
**σχολάσαντες** [00143]
**σώζουσαν** [00164]
**σωθέντων** [00013]
**σῶν** [00091]
**σωτηρία** [00149] [00152]
**σωτηρίαν** [00175]
**σωτηρίας** [00022] [00033] [00049] [00055]
**σωφροσύνην** [00141]
**σωφροσύνης** [00069]

**Τὰ** [00034] [00051] [00085]
**τὰ** [00011] [00023] [00037] [00040] [00040] [00043] [00044] [00050] [00053] [00054] [00064] [00076] [00077] [00093] [00125] [00154] [00163] [00169]
**ταῖς** [00084] [00085]
**τάξιν** [00015] [00051]
**ταπεινὸν** [00142]
**ταπεινῷ** [00036]
**ταράσσοντος** [00087]
**ταράττει** [00020]
**τὰς** [00004] [00009] [00027] [00035] [00043] [00106] [00113] [00124] [00124] [00139] [00139] [00144]
**τάττοντα** [00029]
**ταῦτα** [00038]
**ταύτην** [00046]
**ταύτης** [00013] [00043]
**ταὐτὸ** [00027]
**τεθνεῶτες** [00146]
**τείαν** [00154]
**τείχει** [00129]
**τεῖχος** [00070] [00129]
**τέλει** [00153]
**τελεῖται** [00169]
**τελούμενον** [00028]
**τῇ** [00008] [00037] [00163] [00172]
**Τὴν** [00054]
**τὴν** [00002] [00004] [00007] [00007] [00013] [00016] [00016] [00018] [00018] [00029] [00030] [00032] [00036] [00038] [00045] [00046] [00047] [00051] [00063] [00074] [00087] [00087] [00090] [00091] [00092] [00093] [00097] [00098] [00099] [00100] [00105] [00105] [00109] [00112] [00113] [00113] [00114] [00114] [00115] [00115] [00121] [00127] [00134] [00136] [00136] [00148] [00154] [00160] [00164] [00164] [00164] [00167] [00167] [00174] [00175]
**τῆς** [00005] [00008] [00009] [00010] [00011] [00022] [00032] [00033] [00034] [00035] [00036] [00037] [00043] [00049] [00051] [00054] [00055] [00064] [00072] [00087] [00093] [00098] [00100] [00102] [00107] [00126] [00126] [00126] [00126] [00127] [00127] [00127] [00127] [00132] [00137] [00138] [00150] [00153] [00154] [00155] [00158] [00166] [00174]
**τι** [00128]
**τιμῶμεν** [00109]
**τιμωρίαν** [00091] [00115]
**τιμωρίας** [00138]
**Τίνα** [00023]
**τινα** [00029] [00130]
**τινες** [00157]
**τινος** [00108]
**Τίς** [00033] [00088]
**τις** [00004]
**τιτρώσκει** [00066]
**τὸ** [00004] [00009] [00010] [00010] [00013] [00021] [00057] [00092] [00111] [00112] [00116] [00122] [00151] [00166] [00176]
**τοίνυν** [00014] [00089]
**Τοιούτοις** [00075] [00124]
**τοιούτων** [00072]
**Τοῖς** [00013]
**τοῖς** [00016] [00029] [00042] [00043] [00045] [00085] [00085] [00100] [00113] [00113] [00120] [00121] [00123] [00125] [00131] [00136] [00139] [00148]
**τὸν** [00006] [00007] [00017] [00018] [00019] [00020] [00022] [00025] [00026] [00030] [00033] [00043] [00045] [00059] [00061] [00062] [00075] [00077] [00081] [00082] [00082] [00082] [00083] [00089] [00090] [00126] [00132] [00135] [00143]
**τοξεύσωμεν** [00059]
**τοσοῦτον** [00102]
**Τοῦ** [00002] [00099] [00112]
**τοῦ** [00002] [00017] [00017] [00020] [00029] [00029] [00030] [00034] [00035] [00036] [00039] [00072] [00087] [00106] [00107] [00124] [00136] [00146] [00155] [00163]
**τοὺς** [00004] [00008] [00014] [00015] [00017] [00052] [00074] [00103] [00113] [00120] [00130] [00135] [00145] [00176]
**τοῦτο** [00009] [00128] [00151]
**τοῦτον** [00109]
**τούτῳ** [00008]
**τραύματα** [00034]
**τρεῖς** [00008]
**τρόμον** [00083]
**τρόπῳ** [00013] [00016] [00054]
**τροφῆς** [00005]
**Τρυφὴν** [00140]
**τρυφῆς** [00037]
**τρυφητὴς** [00043]
**τυχόντες** [00101]
**τύχωσιν** [00137]
**Τῷ** [00132]
**τῷ** [00013] [00036] [00045] [00054] [00091] [00104] [00116] [00153]
**τῶν** [00002] [00011] [00013] [00020] [00023] [00038] [00047] [00049] [00051] [00054] [00063] [00074] [00085] [00091] [00127] [00132] [00134] [00163] [00176]

**ὑγιείαν** [00013]
**ὑδάτων** [00086]
**ὕδωρ** [00040]
**ὑμᾶς** [00005] [00006]
**ὑμῖν** [00008] [00009] [00025]
**ὕμνον** [00082]
**ὑμνῳδίαις** [00059]
**ὑμνῳδίας** [00132]
**ὑμῶν** [00008]
**ὑπὲρ** [00023] [00033] [00049] [00055]
**ὑπερηφανείας** [00036]
**ὕπνον** [00082]
**ὑπὸ** [00085] [00118] [00119]
**ὕστερον** [00017]
**Ὑψίστου** [00155]

**φάλαγγα** [00063] [00134]
**φάλαγγος** [00045]
**Φαραὼ** [00107]
**φάρμακα** [00011]
**φαρμακεύει** [00037]
**φαῦλον** [00151]
**φαυλότεροι** [00054]
**φαυλότητι** [00102]
**φαύλους** [00093]
**Φεῖσαι** [00117] [00119]
**φεῖσαι** [00099] [00118]

**φερομένοις** [00131]
**φέρον** [00151]
**φευκτὴν** [00099]
**φησὶ** [00039] [00077] [00126]
**φησὶν** [00030] [00044] [00053] [00088] [00163]
**φθείρεις** [00095]
**φθειρόμεθα** [00054]
**φιλανθρωπίᾳ** [00092]
**φιλανθρωπίαν** [00019]
**φιλάνθρωπον** [00111]
**φιλάνθρωπος** [00073]
**φίλοι** [00053] [00072] [00170]
**φιλοσοφεῖν** [00052]
**φιλοσοφίας** [00016] [00127] [00127]
**φιλοσόφων** [00154]
**Φίλους** [00135]
**φίλους** [00017]
**φιλτάτοις** [00121]
**φίλτρον** [00116]
**φλέξαι** [00067]
**φοβεροῦ** [00027]
**φοβηθῶμεν** [00174]
**φόβον** [00082]
**φόβῳ** [00116]
**φονεύουσαν** [00164]
**φονεύσῃς** [00094]
**φορὰν** [00156]
**φρικτῆς** [00045]
**φυγή** [00125]
**φυγόντες** [00141]
**φύσεως** [00043]
**φύσις** [00047]
**φωνὴ** [00020] [00080]
**φωνὴν** [00086]

**χαλεπὸν** [00020]
**χαλεπωτέραν** [00101]
**χάριτος** [00009]
**χειμῶνος** [00020]
**χειρωσάμενοι** [00054]
**χερσὶν** [00126]
**χιτῶνα** [00069]
**χορηγεῖν** [00005]
**χρέως** [00009]
**χρῄζουσι** [00013]
**χρήσιμοι** [00011]
**χρηστὴν** [00087]
**χρηστότητα** [00094] [00113]
**χρόνον** [00006]
**Χρυσὸς** [00148]
**Χρυσοστόμου** [00002]

**ψαλμῳδίαις** [00060]
**ψευδόμενον** [00019]
**ψεύσῃς** [00113]
**ψῆφον** [00164]
**ψήφῳ** [00054]
**ψυχαῖς** [00084]
**ψυχάς** [00086]

**ὢ** [00045] [00154]
**ὦ** [00053] [00055] [00072] [00170]
**Ὢ** [00027] [00031] [00045] [00154] [00164] [00168]
**ὡμολόγουν** [00144] [00146]
**Ὠνίων** [00143]
**ὤρθωσαν** [00160]
**ὡς** [00012] [00042] [00054] [00054] [00071] [00099] [00124] [00148] [00151] [00152] [00153] [00157]
**Ὡς** [00146]
**ὥσπερ** [00072] [00114] [00115] [00129]
**ὥστε** [00008] [00032]
**ὠφέλιμα** [00011]
**ὠχύρωσαν** [00129]